ἱππεῦϲι δ' ἱππῆϲ ἦϲαν ἀνθωπλιϲμένοι
τετραόροιϲί τ' ἀντί' ἅρμαθ' ἅρμαϲιν.
κῆρυξ δὲ Θηϲέωϲ εἶπεν ἐϲ πάνταϲ τάδε·
Ϲιγᾶτε, λαοί, ϲῖγα, Καδμείων ϲτίχεϲ,
ἀκούϲαθ'· ἡμεῖϲ ἥκομεν νεκροὺϲ μέτα,
θάψαι θέλοντεϲ, τὸν Πανελλήνων νόμον
ϲῴζοντεϲ, οὐδὲν δεόμενοι τεῖναι φόνον.
κοὐδὲν Κρέων τοῖϲδ' ἀντεκήρυξεν λόγοιϲ,
ἀλλ' ἦϲτ' ἐφ' ὅπλοιϲ ϲῖγα. ποιμένεϲ δ' ὄχων
τετραόρων κατῆρχον ἐντεῦθεν μάχηϲ·
πέραν δὲ διελάϲαντεϲ ἀλλήλων ὄχουϲ
παραιβάταϲ ἔϲτηϲαν ἐϲ τάξιν δορόϲ.
χοἰ μὲν ϲιδήρωι διεμάχονθ', οἱ δ' ἔϲτρεφον
πώλουϲ ἐϲ ἀλκὴν αὖθιϲ ἐϲ παραιβάταϲ.
ἰδὼν δὲ Φόρβαϲ, ὃϲ μοναμπύκων ἄναξ
ἦν τοῖϲ Ἐρεχθείδαιϲιν, ἁρμάτων ὄχλον
οἵ τ' αὖ τὸ Κάδμου διεφύλαϲϲον ἱππικὸν
ϲυνῆψαν ἀλκὴν κἀκράτουν ἡϲϲῶντό τε.
λεύϲϲων δὲ ταῦτα κοὐ κλύων (ἐκεῖ γὰρ ἦ
ἔνθ' ἅρματ' ἠγωνίζεθ' οἵ τ' ἐπεμβάται)
τἀκεῖ παρόντα πολλὰ πήματ' οὐκ ἔχω
τί πρῶτον εἴπω, πότερα τὴν ἐϲ οὐρανὸν
κόνιν προϲαντέλλουϲαν, ὡϲ πολλὴ παρῆν,
ἢ τοὺϲ ἄνω τε καὶ κάτω φορουμένουϲ
ἱμᾶϲιν, αἵματόϲ τε φοινίου ῥοὰϲ
τῶν μὲν πιτνόντων, τῶν δὲ θραυϲθέντων δίφρων
ἐϲ κρᾶτα πρὸϲ γῆν ἐκκυβιϲτώντων βίαι
πρὸϲ ἁρμάτων τ' ἀγαῖϲι λειπόντων βίον.